Ἀγαθὸν πολίτην ἐγὼ καλῶ οὐχ ὅστις μόνον εὖ ποιεῖ τὴν πατρίδα κοινῇ, ἀλλ᾽ οὐδὲν ἧττον καὶ ὅστις τοῖς μὲν καθεστῶσιν νόμοις ἑαυτὸν ὑπήκοον δείκνυσιν, ἰδίᾳ δὲ δῆλός ἐστιν ἐπιμελούμενος τεταγμένου βίου καὶ σώφρονος, καὶ βίας μὲν ἀπέχηται, τῶν δὲ πολιτῶν | οὓς οἷός τέ ἐστιν εὖ ποιεῖ· ὁ γὰρ τοιοῦτος τὸ καθ᾽ αὑτὸν ἐπαινεῖσθαι παρασκευάζει τὴν πόλιν, ἀγαθοῦ πολίτου καλουμένην πατρίδα, ἴσως δὲ πολλοῖς γενόμενος τῇ καθημέραν διαίτῃ σώφρονος βίου παράδειγμα, καὶ κοινῇ κοσμήσει τὴν πόλιν, ἀγαθῶν ἀνδρῶν μητέρα καὶ διδάσκαλον δόξασαν εἶναι· ὥστ᾽ εἴ τις εὐεργετεῖν βούλοιτο τὴν πατρίδα καὶ ταύτῃ καὶ αὐτὸς δόξης τυγχάνειν, ἀρκούντως αὐτήν τε τῶν τροφείων ἀμείψεται καὶ αὐτὸς ἔνδοξος ἔσται, ἀνὴρ γενόμενος ἀγαθός.

f. 12r

III

(f. 26 recto, r. 6)

Argumentum. — Suo quoque commodo inserviunt reges qui subiectorum rationibus prospiciunt.

Οὐδὲν ἕτερον χρὴ νομίζειν ἄρχοντος ἀρετὴν ἀγαθοῦ ἢ τὸ τῶν ὑπηκόων ὅπως εὖ πράττοιεν ἐπιμέλειαν ἔχειν· ὁ δ᾽ ὅπως αὐτὸς μὲν ἡσθήσεται πάντα ποιῶν, τὰ δὲ ἐκείνων ἐπιτρέπων τῇ τύχῃ, οὗτος μέχρι μέν τινος ῥαθύμοις καὶ ἀσθενέσι χρήσεται διακόνοις, κἀντεῦθεν αὐτῷ καὶ τὰ ἴδια χεῖρον ἕξει, τελευ-

τῶν δὲ εἴ τι πταίσειεν, ἀνάγκη δὲ ταῖς ἡδοναῖς ἐφιέντα, καὶ πολεμίους εὑρήσει τοὺς πρὶν ἀσθενεῖς,καὶ ἠμελημένους ἀμυνομένους αὐτὸν ὧν ἠμέληνται.

IV

(f. 53 recto, r 14)

Argumentum.— Variae sententiae.

Ὁ φοβούμενος τὸν θεὸν πᾶσι γίνεται φοβερός· τῷ δὲ μὴ φοβουμένῳ τὸν θεὸν πάντα γίνεται φοβερά.

Σοφός ἐστιν ὁ τὰ πράγματα καθὸ πέφυκεν ἐπιστάμενος.

Οὕτω γίνου φίλος ὥς εἰ καὶ ἐχθρὸν γενέσθαι συμβαίη μὴ φοβηθησόμενος.

Ὁ διδοὺς ὑπὲρ τοῦ λαβεῖν τὴν ἐλευθερίαν ἀπέδοτο.

Ἐκείνοις συνδιάτριβε τοῖς βελτίω σε ποιεῖν δυναμένοις.

Ἐν ταῖς εὐεργεσίαις τὴν διάθεσιν δεῖ μᾶλλον σκοπεῖν τοῦ διδόντος ἢ τὴν εὐεργεσίαν.

Μέγας πλοῦτος τὸ μὴ ἐρᾶν πλούτου.

Πίστευέ μοι· οὐ δυνήσῃ πλούσιος εἶναι καὶ εὐδαίμων.

Ἀπραγμονεστάτην ζωὴν ἦγον ἂν οἱ ἄνθρωποι ἐπὶ γῆς εἰ τὰ δύο ταυτὶ ῥήματα ἦν ἐκ μέσου· τὸ ἐμὸν δηλονότι καὶ τὸ σόν· τότε τὰ τῶν πονηρῶν ἔργα ἐπαινοῦνται ὅταν χείρονα ἄλλα συμβαίνει.

Τῆς ἐν ταῖς ἡμετέραις στενοχωρίαις βοῆς ὁ Θεὸς οὐκ ἀκούει· ὅτι μηδὲ ἡμεῖς ἐκείνου βοῶντος ἐν τῷ καιρῷ τῆς εὐημερίας ἀκούομεν.

V

(f. 60 recto, r. 27)

Argumentum. — Res omnes quae humana natura putrescunt et dissolvuntur nos monent ne nimium huius vitae voluptatibus capiamur

Ἀμήχανον ἑκάστης ἡμέρας μή τι κακὸν ἥκειν ἀνθρώπῳ· ὅταν γὰρ ἄλλο μηδὲν ἢ παρὰ τῆς γνώμης ἢ παρὰ τοῦ σώματος ἢ παρὰ τῆς τύχης αὐτῷ | γένηται βλάβος, ὃ μηδενὶ τῷ πράγμασι πολλοῖς ἐνστρεφομένῳ χαλεπὸν μὴ συμβῆναι, ἀλλὰ γοῦν τήν γε φύσιν ἀεὶ ῥέουσαν οὐκ ἔνεστιν ἐπισχεῖν, ἣν καθημέραν ἐπειγόμενον καὶ ἀσθενοῦσαν καὶ τοῦ μήκους τῆς ζωῆς

f. 61v

ὑφαιροῦσαν, ἀνάγκη τελευτῶσαν ἐπὶ τὸν θάνατον καὶ τὸ μὴ ὂν καταλῆξαι· ὃ πᾶσι μὲν ἀλγεινόν, τοῖς δ' ἐν ἀνέσει βεβιωκόσιν ἀφόρητον, τῆς τῶν ἡδέων κτήσεως πικρότερον αὐτοῖς ποιούσης τὸν θάνατον. πλὴν τοῖς νήφουσι ἔστι τι καὶ τῶν κακῶν τούτων ὄφελος, ὅταν τις διὰ τοῦτο πείθηται ῥᾷον φέρειν τὴν τελευτὴν ὡς ἂν πολλῶν ἀηδῶν αὐτὸν ἀπαλλάττουσαν. f. 61r

VI

(f. 61 verso, r. 9)

Argumentum.—Fragilis et caduca felicitas est, sed ludibrium fortunae sapiens aequo animo fert.

Ὁ λίαν ἐπὶ τοῖς μετὰ τὴν εὐτυχίαν ἀηδέσι ἀγανακτῶν δῆλός ἐστιν ἀμαθίᾳ τῶν κατὰ τὸν βίον συζῶν· εἰ γὰρ ᾔδει τὴν τῶν πραγμάτων φύσιν οἷς χρώμεθα, οὐ μόνον οὐκ ἂν ὑπὸ τῆς αὐτῶν μεταβολῆς ἐξεπλήττετο, ἀλλὰ καὶ τὴν μέχρι τινὸς αὐτῶν ἠρεμίαν ἐθαύμαζεν ἄν· πῶς γὰρ οὐ θαῦμα ἢ τὰ τῶν πηγῶν ἢ τὰ τῶν ἀνέμων ῥεύματα στῆναι; εἰ δὲ τὰ πάντα ῥεῖ καθ' Ἡράκλειτον, ἴστω καὶ ὁ εὐτυχῶν μὴ μέχρι πολλοῦ ὁμοίᾳ τῇ τύχῃ χρησόμενος, καὶ ὁ κακῶς πράττων οὐκ ἀεὶ μαχούμενος πρὸς αὐτήν, ἀλλ' αἰσθησόμενός ποτε ταύτης καὶ οὗτος διηλλαγμένης. καὶ οὕτως ἐκείνου μὲν τὸ φύσημα συσταλήσεται, τοῦ δὲ τὸ τῆς ψυχῆς ταπεινὸν κουφισθήσεται.

VII

(f. 76 recto, r. 17)

Argumentum. — Quo magis cupiditatibus inservientes naturae ordinem quem Creator imposuit homines invertunt, eo gravius delinquunt.

Τοὺς τὴν γαστέρα θεραπεύοντας θεὸν ἔχειν τὴν κοιλίαν ὁ θεῖος ἀπεφήνατο Παῦλος, σφόδρα ἀληθείας ἐχομένην ψῆφον ἐξενεγκών. οὗ γάρ τις στοχαζόμενος καὶ σκοπῶν ἔσχατον ἐκείνου τυχεῖν πάντα πράττει, δῆλον ὡς ἔσχατον τέλος τοῦθ' ὑπείληφεν ἑαυτῷ καὶ θεὸν ἑπομένως τοῦτο νενόμικεν· τοῦτο γὰρ τοῦ κατὰ ἀλήθειαν θεοῦ μόνου γέρας, ὃς πᾶσι μὲν μάλιστα δὲ τῇ λογικῇ φύσει μόνον ἀγαθὸν τέλος πρόκειται, οὗ τυχεῖν ἐφίεται πάντα, ὁ δ' αὐτὸς λόγος καὶ περὶ παντὸς ἐφ' ὃ τις συντεταμένως ἐπείγεται. πάντες μὲν οὖν οἱ πλὴν τοῦ θεοῦ

πρὸς ἄλλο τι τὴν σπουδὴν ἐνδεικνύμενοι, κἀκεῖνο τέλος ἑαυτοῖς προστησάμενοι, δικαίως ἂν δοκοῖεν ἀνόητοι καὶ κακοὶ καὶ τοῖς τῆς εἰδωλολατρείας ὀνείδεσιν ἔνοχοι, ὡς ἂν παρὰ τὸν κτίσαντα τῇ κτίσει λατρεύοντες.

Ἔστι μέντοι κἂν τούτοις κακοὺς καὶ χείρους εὑρεῖν· ὅσῳ γὰρ ἀγαθοῦ καὶ λόγου πλέον μετέχει τὸ σπουδαζόμενον, τοσοῦτον καὶ τοὺς μετιόντας ἧττον ἀποφαίνει κακούς, ᾧ δ' ἥκιστα τούτων | μέτεστιν, ἐκεῖνο πάσης τοὺς ἐραστὰς συγγνώμης ἀποστερεῖ· ὧν ἕνα θετέον καὶ τὸν σπουδαῖον χρηματιστήν, ἐν παραθέσει πολλῷ χείρω τοῦ γαστριμάργου δεικνύμενον· ἐκεῖνος μὲν γὰρ διώκων τὴν τῆς γαστρὸς ἡδονὴν δοκεῖ τινα τοῦ σώματος ἐπιμέλειαν ἔχειν, πρὸς ὃ φύσει τὰ χρήματα τέτακται ὥσπερ ἐκεῖνο πρὸς τὴν ψυχήν, καὶ ἔστιν οἷον μὲν τέλος χρημάτων τὸ σῶμα, ταῦτα δὲ πρὸς τέλος ἐκεῖνο· ὁ δὲ χρηματιστὴς τὴν τάξιν ἀμείβων, τοῦ χείρονος ἔχεται, πρὸ τοῦ σώματος τἀργύριον θεραπεύων· οὕτως δυοῖν κακοῖν, γαστριμάργου καὶ φειδωλοῦ, χείρων ὁ φιλοχρήματος.

f. 76v.

VIII

(f. 77 verso, r. 24)

***Argumentum.**—Ita precibus utendum, ut quod Deo optimum videatur oremus.*

Ἀνόητον ἐν ταῖς εὐχαῖς τὸ ἴδιον θέλημα, ἀλλὰ μὴ τὸ τοῦ θεοῦ πρὸ πάντων αἰτεῖν· τὸ μὲν γὰρ ἀνθρώπινον θέλημα, πρὸς τὰ ἡδέα μᾶλλον ἢ τὰ συμφέροντα ῥέπον, ποριστὴν αὐτῷ γενέσθαι τὸν θεὸν τῶν ἡδέων αἰτεῖ, ὧν τὸ πλεῖστον εἰς βλάβας καὶ συμφορὰς τελευτᾷ, ὥστε τοῖς οὕτως εὐχομένοις βλαβερὸν γίνεται τυχεῖν τῆς εὐχῆς· τὸ δὲ θεῖον θέλημα ἀγαθὸν καὶ συμφέρον καὶ τέλειον κατὰ τὸν θεῖον ἀπόστολον ὄν, εἰκότως ἂν ἐν ταῖς εὐχαῖς τῶν ἡμετέρων ὀρέξεων προτιμῷτο. τοῦτο γὰρ τοῖς εὐχομένοις ἀναγκαῖον εἰς καλὸν τελευτῆσαι. μηδεὶς τοίνυν ὑπὲρ τοῦ δοκοῦντος εὐχόμενος εἶτ' ἀποτυγχάνων λυπείσθω, πεπεισμένος ζημίας ἀπαλλαγὴν αὐτῷ τὴν ἀποτυχίαν γενέσθαι· βοάτω δὲ μᾶλλον πρὸς θεὸν ὥστ' ἐπ' αὐτῷ τὸ θεῖον θέλημα τελεσθῆναι· τοῦτο γὰρ καὶ ὁ Χριστὸς οὐ μόνον εὔχεσθαι τοῖς εἰς αὐτὸν πιστεύουσιν ἐνετείλατο, λέγων «γενηθήτω τὸ θέλημά σου», ἀλλὰ καὶ αὐτὸς ὁμοίως ἠξίωσε εὔξασθαι πρὸς τὸ πάθος ἰών.

IX

(f. 84 recto, r. 10)

Argumentum. — Ne quis cunctetur auxilium ferre pauperibus.

Ἤκουσά του λόγον περὶ ἐλεημοσύνης εἰπόντος ἀληθῆ τε καὶ ἄλλως χαρίεντα· ἔλεγε δὲ παραδείγματι πείθων δεῖν πρὸ τῆς τελευτῆς τὰ ὄντα διὰ τῶν πενήτων δανείζειν Χριστῷ, ὡς τῆς μετὰ τὸν θάνατον μεγαλοψυχίας μικρὸν ἢ οὐδὲν ὠφελεῖν δυναμένης. εἰ γάρ τις, ἔφασκε, νυκτὸς ἀτριβῆ πορεύοιτο καὶ τραχεῖαν ὁδόν, εἰ μὲν αὐτοῦ τὸ φῶς ἡγούμενον ἔχοι, ἀσφαλῶς τε εἶσι, πόρρωθεν τοὺς σκόλοπας καὶ τοὺς κρημνοὺς βλέπων καὶ φυλαττόμενος, καὶ τὸν σταθμὸν καταλαβὼν ἀναπαύσεται· εἰ δ' ἐκ τῶν ὄπισθεν ἕποιτο τὸ φωτίζον, ἀνάγκη μηδὲν ὁρῶντα προσκώπτειν καὶ ἢ συντρίψαι τὸ σῶμα ἢ καὶ κρημνισθέντα διαφθαρῆναι. οὕτω τοίνυν καὶ τὸν πρὸς τοὺς δεομένους οἶκτον φῶς ἡμῖν ὄντα πρὸς τὴν ἐκεῖσε πορείαν, ἡμῶν προπορεύεσθαι χρή, πρὸς τὰς θείας μονὰς ἡμᾶς ὁδηγοῦντα· τὸ δὲ τοῖς ἐπιτρόποις τὴν ἐλεημοσύνην μετὰ τὴν τελευτὴν ἐπισκήπτειν ὄπισθέν ἐστι βουλομένων φωτίζεσθαι, οἳ τοῦ μὲν καταλύματος ἀτυχήσουσιν ἐφ' ὅπερ ἐπείγονται, θηρίοις δὲ ἢ καὶ κρημνοῖς ἐντυχόντες καὶ κακῶς ἀπολοῦνται. Ταῦτ' ἔλεγεν ἀνὴρ παιδείας μὲν ἄπειρος, τὴν δὲ τροφὴν τοῖς τοῦ σώματος πόνοις εὑρίσκων

X

(f. 84 recto, r. 25)

Argumentum.— Cum omnes homines aliorum vitia tam e cernant, manifesto apparet ne improbum quidem ignorare ubi sit virtus.

Εἶδον ἄνδρα ἀνδρὶ λοιδορούμενον κἀκείνῳ προσφέροντα ὧν ἦν αὐτὸς ἔνοχος, καὶ ἐθαύμασα τὴν φύσιν τῆς ἀρετῆς, ὅπως αἰδοῦς καὶ παρὰ τῶν φαύλων τυγχάνει. ὁ γὰρ ἕτερον ἐφ' οἷς αὐτὸς ἡμάρτανεν ὀνειδίζων δῆλον ὡς ἐπελαμβάνετο τῶν αὐτῷ πραττομένων, οὐκοῦν τῶν ἐναντίων ἐπαίνους ἄντικρυς ἔλεγεν. οὕτω καὶ τοῖς πονηροῖς τίμιον τὸ χρῆμα τῆς ἀρετῆς, καὶ ὅταν ἢ αὐτοῖς συνηγορῶσιν ἢ ἄλλων κατηγορῶσιν, ἀδύνατον μὴ μετ' εὐφημίας ταύτης μεμνῆσθαι.

XI

(f. 97 verso, r. 1)

Argumentum.—Sicut hominibus non est vera laus corporis vis atque praestantia, quibus beluae iure celebrantur, itidem aliis reges, aliis privati laudibus exornandi sunt.

Ἐγὼ μὲν ἀνδρὸς καὶ γυναικὸς καὶ θηρίου καὶ δένδρου καὶ συνελόντι παντὸς ὁτουοῦν ἀληθῆ καὶ δίκαιον ἔπαινον εἶναι νομίζω τὸ τὴν αὐτῷ προσήκουσαν ἀρετὴν καὶ πρὸς ἣν παρὰ τῆς φύσεως τέτακται ταύτην ἀκριβῶς περισώζειν, κἀκείνῃ συμβαινούσας καὶ τὰς πράξεις ἀποδιδόναι. ληρεῖ τοιγαροῦν ὅταν τις δέον ἄνθρωπον ἐπαινεῖν ὅτι δὴ τοῖς βαρυτάτοις τῶν φορτίων οὐ πιέζοιτο λέγῃ· «ἀλλ' εὖ καὶ καλῶς πρὸς τἄχθη παρασκευασμένους ἔχει τοὺς ὤμους»· λανθάνει γὰρ οὕτως αὐτὸν οὐκ ἀνδρὸς ὄνου δὲ λέγων ἐγκώμια· εὐήθη δὲ καὶ Ὅμηρος ἔπαινον ἀποδίδωσιν Ἀχιλλεῖ ποδάρκη τοῦτον εἰπών· μᾶλλον γὰρ οἶμαι τοῦτο λαγωοῖς ἢ ἐλάφοις προσήκειν· ἢ τῶν Ἀχαιῶν ποιήσας μέγιστον Αἴαντα, ὃ δὴ περὶ ἐλεφάντων εἰπὼν μᾶλλον ἂν ἔδοξε τυχεῖν οὗ προσῆκεν· εἰ δέ τις καὶ ταῦτα κόσμον τινὰ τοῖς ἀνθρώποις ἔχειν βιάζοιτο, ἀλλ' οὔτοι γε ταῦτα λεγόμενα τὸν καλὸν καὶ ἀγαθὸν ἂν ἄνδρα ἐνδείξαιτο· ἀλλὰ δεῖ μὲν πρὸ πάντων ἐν τοῖς ἐπαίνοις τῶν τῆς ψυχῆς ἀγαθῶν μνήμην γίνεσθαι, ὧν ἄνευ ὀλίγον ἄνθρωπος θηρίου διοίσει· ὄντων δὲ τούτων, καὶ τὰ τοῦ σώματος ὥσπερ ἐν προσθήκης μέρει ἴσως καλλίω καὶ τὰ τῆς ψυχῆς ἀποδείξει· ἐπεὶ καὶ καλῷ σώματι γένοιτ' ἄν τις καὶ παρὰ τῶν ἱματίων εὐπρέπεια· ταύτης δὲ τῆς ἁμαρτίας αἴτιον εἶναι φημὶ τὸ τὰ τοῖς ἄλλοις οἰκεῖα δι' ἄγνοιαν ἄλλοις περιάπτειν πειρᾶσθαι, μηδ' ἐπίστασθαι τὸν οἰκεῖον κόσμον ἑκάστῳ.

Τοῦτο κἀμὲ πέπεικε πρώην μὴ πάνυ τοι προσέχειν λόγοις ἀνδρὸς εἶναί τι δοκοῦντος, ὃς δημηγορῶν ἐπειρᾶτο μέν τινα τῶν αὐτῷ φίλων καὶ μεγάλην ἀρχὴν ἄρξαντα μεγάλοις αἴρειν ἐπαίνοις· ἔλεγε δὲ τὰ μὲν ἐξ ὧν ἰδιώτης ἂν μᾶλλον ἢ βασιλεὺς ἐκοσμήθη, τὰ δὲ μηδενὶ τῶν σεμνοτέρων φιλοτιμίαν ἴσως δὲ καὶ μέμψιν ἂν ἐνεγκόντα· ἃ γὰρ ποιῶν ἐκεῖνος τοῖς νόμοις ὤφειλε δίκην, τούτοις ὁ φίλος ἐκεῖνον ἐπειρᾶτο σεμνύνειν· ἐγὼ δὲ τὴν τῶν ἐπαίνων ἀτοπίαν οὐκ ἐνεγκών· «ὦ βέλ-

τιστε, ἔφην, παῦσαι κακῶς λέγων τὸν φίλον, καὶ τὴν δόξαν αὐτῷ περικόπτων· ὅς γε τοῦ θρόνου τοῦτον καταβιβάσας, τῇ τῶν ἰδιωτῶν ἢ κακούργων ἐγκρίνεις μερίδι· ἐχρῆν δὲ βασιλέα ἐγκωμιάζοντα ἀπὸ νοῦ | καὶ διανοίας καὶ τῶν μεγίστων ἀρετῶν πλέκειν ἐκείνῳ τὸν στέφανον· νῦν δ' αὐτῷ τὰ μηδὲ τοῖς τυχοῦσι φέροντα φιλοτιμίαν ἀνατιθείς, οἴει μέγαν ἀποδεικνύναι, καὶ ὥς ἔοικε καὶ φιλόσοφον ἐπαινῶν εἶπες ἂν ὡς ἐν ταῖς πανηγύρεσι τοὺς θεατὰς ὀρχούμενος τέρπει.»

XII

(f 98 recto, r 5.)

Argumentum. — *Quam inhumana sit consuetudo qua aliorum calamitatum conspectu animus aeger recreetur.*

Εἶδον πολλοὺς ἀφ' ὧν ἑτέρους δυστυχοῦντας ὁρῶσιν ἑαυτοῖς παραμυθίαν ἐν τοῖς ὁμοίοις ἀθροίζοντας· οὓς οὐχ ὡς φιλοσοφοῦντας ἐπῄνεσα, ἀλλ' ὡς φθονεροὺς ἐμεμψάμην· τὸ γὰρ τὰ τῶν ἄλλων πάθη φάρμακα ποιεῖσθαι τῶν οἰκείων κακῶν, καὶ ὅταν τῳ συμφορά ποθεν ἥκῃ τότ' αὐτὸν ἀναπνεῖν, τοῦτ' ἂν εἴη τοῦ φθόνου τὸ χείριστον καὶ ὃ τοῖς λοιμοῖς ἐπίσης πάντες φυλάττωνται. ἐγὼ δὲ βουλοίμην μὲν ἂν κακῶν ἄπειρος ζῆν, ἂν δ' ἑτέρως δόξῃ περὶ ἐμοῦ τῇ Προνοίᾳ, τοὺς γοῦν ἄλλους εὐξαίμην ἂν εὐτυχεῖν· ἴσως γὰρ παρὰ τῆς ἐκείνων δυνάμεως κουφότερον ἔσται μοι τὸ λυποῦν· τοῖς γὰρ κακῶς πράττουσι μεγάλη παραμυθία τὸ πολλοὺς εἶναι τοὺς εὖ ποιεῖν δυναμένους· ἂν δ' ὁμοίως ἀσθενήσωσι πάντες, καὶ τὸ ἐλπίζειν τι τῶν χρηστοτέρων οἰχήσεται, τοῦ δὲ καὶ τὰς ἐλπίδας ἀπολέσαντα ζῆν οὐδ' ἔστιν ἐπινοῆσαί τι χαλεπώτερον.

Μὴ τοίνυν ἐπαινῶμεν τοὺς ἐν ταῖς συμφοραῖς τῇ τῶν χειρόνων διηγήσει πειρωμένους παραμυθεῖσθαι τοὺς πάσχοντας. φθόνου γὰρ ἄντικρυς κατηγοροῦσιν αὐτῶν, εἴ γε τοῖς ἑτέρων κακοῖς ἐκείνους νομίζουσι τέρπεσθαι.

XIII

(f 98 recto, r. 20)

Argumentum —*Nemo est qui possit imperandi cupiditatem explere et iucunda quiete frui.*

Οὐδὲν ἀνοητότερον ἀνδρὸς ἀρχῆς τε κατὰ ταὐτὸν καὶ ἡσυχίας ἐρῶντος· ἴσως γὰρ ἂν οὗτος ἐλπίσειε καὶ νεῖν ποτε δυνήσεσθαι

κυμάτων χωρίς· ἀλλὰ τούτου · οὐδ' ἂν εὐξάμενος τύχοι ποτέ. ὑπὲρ γὰρ τῶν ἀδυνάτων οὐδ' εὐχάς φασι γίνεσθαι δεῖν. ἢ τοίνυν ὁ τούτων ἀμφοῖν ὀρεγόμενος τῆς ἀτόπου ταύτης ἐπιθυμίας παυσάσθω, ἢ πεισάτω πρότερον τοὺς μὲν πολίτας φιλοσοφεῖν, τοὺς δὲ πολεμίους ἀπέχεσθαι τῶν οὐκ ἐγνωκότων ἀμύνεσθαι. ἕως δ' ἂν τὸ πλεονεκτεῖν καὶ παρὰ τῶν ἔξω καὶ παρὰ τῶν ἔνδον ἀσκεῖται, τῆς οὐ καιρὸν ἐχούσης ἀπραγμοσύνης ἐπιτιμήσας αὐτῷ καὶ γενόμενος ἀνὴρ ἀνεχέσθω θορύβων ὠφελεῖν δυναμένων τὰς πόλεις.

XIV

(f. 122 recto, r 8)

Argumentum.—*De ignobilitate servorum et quomodo optimos servos habeant pessimi, pessimos optimi.*

Οἱ πονηροὶ τῶν δεσποτῶν ὡς ἐπίπαν ἀγαθοῖς χρῶνται δούλοις, δεσποτῶν δὲ τοὐναντίον ἀγαθῶν οἰκέται γίνονται δύστροποι· τοῦτο δὲ οὐχ εἱμαρμένη τις ἀναγκάζει, ἀλλά τὸ φύσει δειλὸν καὶ δύσνουν τῶν δούλων τῶν μὲν χρηστῶν καταφρονεῖ, ὡς ἂν διὰ τὴν ἐκείνων ἡμερότητα μηδὲν πεισόμενον ἀηδές, ὥστ' ἐν τῷ φανερῷ τὴν δύσνοιαν ἐπιδείκνυται· τοὺς δ' ὁμοίως μὲν πονηροὺς θρασεῖς δὲ φυλαττόμενοι πληγῶν δέει προθύμως ἀποπληροῦσι τὰ προσταττόμενα. ἑκατέρωθεν τοίνυν ἡ ζημία τῷ δεσπότῃ συμβαίνει, εἴτ' αὐτὸν δεήσει διὰ τὸν χρηστὸν τρόπον ὑπὸ τῶν δούλων καταφρονεῖσθαι, εἴτ' ἀγριώτερον γίνεσθαι, ἵνα προθύμοις χρῆται τοῖς δούλοις· ἀλλά τις ἂν νοῦν ἔχων ἕλοιτο αὐτὸς πρῶτος γίνεσθαι πονηρὸς ἵν' ἑτέρους ἀγαθοὺς ἀποδείξῃ.

XV

(f. 173 recto, r. 12)

Argumentum.—*Neminem odi, bonos diligo, amicis gaudeo, improbos caveo, conscientiam scelerum acerbissimum iis esse supplicium censeo.*

Εἰ βούλει τὴν ἐμὴν περὶ τοὺς ἀνθρώπους γνώμην εἰδέναι, μισῶ μὲν οὐδένα, τοὺς δὲ δοκοῦντας εἶναι χρηστοὺς καὶ φιλῶ, θαρρῶ δὲ ἐκείνοις ὧν ἔλαβον πεῖραν, τῶν δὲ πονηρῶν ἀποδειχθέντων

μισῶ μὲν τὸν τρόπον, φεύγων δὲ τὴν συνουσίαν κακῶς ποιεῖν αὐτοὺς οὐκ ἐπιχειρῶ, ἱκανὴν αὐτοῖς δίκην τὴν αὐτῶν πονηρίαν νομίζων.

XVI

(f 173 recto; r. 17).

Argumentum. — *De sententia Platonis: «ignavia est mater nequitiae».*

Τοὺς δι' ἀβελτερίαν καὶ μαλακίαν οἰκότριβας εἰς μὲν τὰς δικαίας καὶ ἐνδόξους καὶ ὠφελίμους τῶν πράξεων ἴδοις ἂν παντελῶς ἀργῶς ἔχοντας, καὶ μήτε τι συμβουλεύειν περὶ αὐτῶν δυναμένους, μήτε τι πράττειν ἐπιχειροῦντας· ἐν δὲ τοῖς φαύλοις καὶ δι' ὧν ἂν ἄλλους βλάψαιεν ἢ ἐπιβουλεύσαιεν, θαυμαστὴν ἐπιδεικνυμένους ἀγχίνοιαν, ὥστε πολλάκις παρὰ πολλοῖς καὶ σοφίας ὀξύτητός τε καὶ συνέσεως δόξαν ἠνέγκαντο· φθονεροὺς γὰρ αὐτοὺς ἡ ἀργία καὶ ἡ διὰ ταύτην ἀπορία ποιοῦσα, ἐχθροὺς τοῖς εὐδοκιμοῦσι καθίστησι, καὶ πρὸς τὴν βλάβην ἐρεθίζει τῶν μειζόνων καὶ μηδὲν ἀδικούντων. καλῶς ἄρα Πλάτων εἶπε τὴν ἀργίαν τῆς κακουργίας εἶναι μητέρα.

XVII

(f. 173 recto; r 27).

Argumentum. — *Una salus est pravis: male audire apud ceteros: ex quo saepe fit ui ad virtutem redeant.*

Ὁ φαύλως καὶ ἀκολάστως ζῆν προελόμενος ἄδικος ἂν εἴη τῶν τοῖς ἀγαθοῖς τῶν ἀνδρῶν προσηκόντων ἐπαίνων ἀντιποιούμενος· μᾶλλον μὲν οὖν δίκαια | δράσει τῶν σωφρόνων καὶ δικαίων ἐπιτιμήσεων ἀνεχόμενος· ταύταις γὰρ αὐτῷ τὸ τῆς ψυχῆς φιλότιμον, εἰ μὴ παντάπασιν ἀπεσβέσθη, πρὸς φιλοσοφίαν ὥσπερ ἐκθερμανθέν, ἀρετῆς ἴσως ἐπιθυμήσει, καὶ τότ' ἂν τ'αὐτῆς ἆθλον κομιεῖται τοὺς δικαίους ἐπαίνους, ὧν ἀδίκως πρότερον ἤρα. Τὸ γὰρ κακῶς ἀκοῦσαι τοῦ καλῶς βιοῦν ἀρχὴ πολλάκις ἐγένετο. f 173v

Florentia. Giuseppe Cammelli

Zur zweiten Reden des Demetrios Kydones auf den Kaiser Joh. Kantakouzenos

Dem Abdruck des interessanten Textes geht nur eine kurze, ganz allgemein gehaltene Mitteilung über den Anlass der Rede voraus, sonst aber wird kein einziger spezieller Hinweis auf die in ihr angedeuteten historischen Persönlichkeiten und Situationen gegeben, kein einziger Nachweis der Zitate, keine einzige kritische Note, die trotz der im allgemeinen hervortretenden guten Überlieferung doch hie und da nötig wäre, z. B. **78.** 1 l. ὅ,τι d. h. als was man die gegenwärtige Lage ansprechen soll, das ist, glaube ich, nicht leicht für diejenigen, die..— **14** τὸν φιλόσοφον βασιλέα: Anspielung auf Plato rep. 473 D.—**14** l. ὥσπερ *δή*.—**17** vielleicht ⟨ὡς⟩ ἔφησε.—18 vgl. Dem. 10 l. 1.—**36**—**37** tilge das Komma hinter παρετίθει und hinter *γένει*; ἐνὸν=ἐνεῖναι, wie oben Z. 5. προσῆκον scil. ἐστί. — **40** ἀγνοίᾳ δὲ μειζόνων κακῶν πᾶσα τραγικὴ συμφορὰ ist unverständlich; man erwartet etwa *ἐγγύη*, d. h. jeder tragische Unfall war eine Gewähr für noch grösseres Unglück.— **79**, 1 Πάντα δὲ ἀωρία δεινὴ gibt keinen passenden Sinn, l. etwa *ἀπορία*.—**11** tilge das Semikolon vor ἀπόστολον.—**12** l. *κἂν βάρβαρος*.—**24** l. *λῄμαιος*.— 25 ὑπόνομος ἅπας ἐστενοχωρεῖτο τῷ πλήθει τῶν δεομένων: l. *δυομένων*; die vor ihren Sklaven flüchtenden Herren versteckten sich in den unterirdischen Kanalisationsanlagen. — **80**, 8 l. τῶν *πατέρων*. —**23** l. διψῶντα *τὰ στόματα*.—**29** l. οὐ *παταγοῦσιν* und vgl. Soph. Ajax 168. — **81**, 8-9 setze vor ὡς δ' ein Semikolon und vor τρέπει ein Komma .— **82**, 9 l. τὴν *τῶν* πολὺν χρόνον.—**83**, 5—6 ἡ ἀνδρία (besser ἀνδρεία wie 82, 41) *πάντα* παρενεγκοῦσα ⟨*τὴν*⟩ Βρασίδου.—6 l. ⟨*τὸ*⟩ οὐδενὶ *δικαιοῦν* παραβάλλεσθαι.—9 l. *τελετὴν* —17 l. *γήρως*.—25 l. ἀνδροφόνος.—30 l. *σύμβολον*.

Riga. † Ed. Kurtz

[1]) B.—N. Jb. IV (1923) 77—83.

Zum λόγος auf das Konzil von Nikaia und auf Konstantin den Grossen.

(aus cod. Vatic. gr. 1991).

In seiner Ausgabe der Lobrede des Gregorios auf die 318 Väter des Konzils zu Nikaia und Konstantin den Grossen, deren Abfassungszeit er aus sprachlich-stilistischen Gründen unter Bischof Arethas setzen zu müssen glaubt, veröffentlichte Joh. Compernass [1]) auch einen Λόγος διαλαμβάνων περὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῶν τι καὶ η θεοφόρων πατέρων καὶ περὶ τοῦ ἁγίου καὶ ἐνδόξου βασιλέως Κωνσταντίνου [2]). Dieser λόγος steht im cod. Vatic. gr. 1991 fol. 6v-14v, und sein Niederschrift muss ins XI. Jahrhundert fallen, wenn der erste der vier Teile des genannten codex, nämlich fol. 1-43 wirklich noch dem XI. Jahrhundert angehört. Compernass erkannte, dass in diesem λόγος zunächst ein Exzerpt aus Theodorets K. G. I, 2-8 Anfang und 12, 17 — 13,4 enthalten ist. Das darauf folgende Exzerpt, das er S. 7—11,14 zum Abdruck brachte, glaubte er einer verloren gegangenen Konzilsgeschichte zuschreiben zu dürfen: es sei «ein seltsames Exzerpt aus einer speziellen Darstellung der vier ersten Synoden, weil doch nur diese in byzantinischer Zeit von allgemeinem Interesse sein konnten.» [3]) Darauf folgt wieder ein «Exzerpt aus Theodorets K. G. I 14, 3 — 11» und dann ein «Schlussteil des zweiten Exzerpts» mit den Worten: Γενώμεθα τοίνυν καὶ ἡμεῖς, ἀγαπητοί, bis zum Schlusse: ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν

[1]) Habilitationsschrift eingereicht bei der philosophischen Fakultät der Universität Freiburg d. Schweiz. Bonn. 1908.

[2]) Compernass a. a. O. S. 6. — Auf diesen λόγος hatten bereits die Bollandisten in ihrem Catalogus codd. hagiogr. gr. bibl. Vatic. im Index als ein von des Gregorios Schrift abweichendes Enkomion auf die 318 Väter des Konzils zu Nikaia aufmerksam gemacht.

[3]) Compernass a. a. O. S. 6.

πρεσβείαις τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, τιμή, κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν. Compernass legte auf die Veröffentlichung des zweiten Exzerptes deshalb so besonderes Gewicht, weil «es auf dieselbe Quelle zurückgeht, aus der auch Gregorios Presbyter geschöpft hat.[1]) Zieht man in Betracht, wie gewissenhaft wörtlich das erste Exzerpt aus Theodoretos angelegt ist, so wird man leicht annehmen dürfen, dass auch das zweite fast wortwörtlich entnommen sein wird. Vermutlich war die Konzilsgeschichte, aus der dieses zweite Excerpt stammt, mit der Kirchengeschichte des Theodoretos zusammengebunden; denn nur so erklärt sich die Tatsache, dass der Excerptor die nämlichen beiden Quellen wie Gregorios ausgeschrieben hat.» [2])

Ich musste aus dem Grunde so weit ausholen, weil ich diese ganze Hypothese von Compernass leider nicht als richtig anerkennen kann. Den einleitenden Worten des λόγος: Ἐπειδὴ τῆς τοῦ Θεοῦ χάριτος καὶ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου συναγαγόντος ἡμᾶς ἐκ διαφόρων ἐπαρχιῶν καὶ πόλεων ἡ μεγάλη καὶ ἁγία σύνοδος ἐν Νικαίᾳ συνεκροτήθη, die anscheinend Eigentum des Verfassers des λόγος sind,—mit dem anschliessenden, stilistisch höchst ungeschickten: ἐπειδὴ δὲ ἠθροίσθησαν beginnt bereits das erste Theodoretexzerpt - entsprechen die Schlussworte: Γενώμεθα τοίνυν u. s. w, die wiederum Eigentum des Verfassers sind, denn sie enthalten nur an die ἀγαπητοὶ die Aufforderung, den Glauben gewissenhaft zu bewahren, um der ewigen Seligkeit teilhaftig zu werden. Es ist mir unbegreiflich, wie Compernass auf den Gedanken kommen konnte, darin ein zweites Exzerpt aus der von ihm postulierten Konzilsgeschichte zu sehen, in der sie, ganz abgesehen von der anschliessenden Doxologie, ihrem Inhalte nach gar keinen Platz gehabt haben können.

Aber auch der Abschnitt S. 11, 1—14: τοὺς δὲ συνεληλυ-

---

[1]) Compernass, Gregorios Presbyter, Bonn, 1907 S 44—48
[2]) Compernass, Habilitationsschr S. 11.

θότας ἁγίους πατέρας ἐν τῇ ἁγίᾳ συνόδῳ, ὀκτωκαίδεκα ἦσαν καὶ τριακόσιοι, bis: ἡ χρείᾳ ταῦτα μερίσας gehört nicht zu der Konzilsgeschichte, sondern ist ebenfslls nur ein wörtliches Exzerpt aus Theodorets K. G. 11, 1—2, nur ist, um den Anschluss zu gewinnen, nach συνεληλυθότας hinzugefügt worden ἁγίους πατέρας ἐν τῇ ἁγίᾳ συνόδῳ und in μερίσας geht das Exzerpt mlt den Hss G S des Theodoret. [1]) Es ist Compernass wahrscheinlich aus dem Grunde entgangen, weil das zweite Theodoretexzerpt bereits aus KG I 12, 17—13,4 und das dritte (jetzt vierte) aus KG I 14, 3-11 stammt.

So bleibt also von dem ganzen λόγος nur der Abschnitt fol. 9^{v} bis etwa 13^{r} = Compernanss S. 7,1 — 10,38 auf seine Quellen zu untersuchen, und dieser ist, was von dem Herausgeber bei dem Mangel einer Edition sehr leicht übersehen werden konnte, nichts anderes als die nicht nur «fast wörtliche», sondern wirklich ganz wörtliche Herübernahme aus der von Guidi herausgegebenen Konstantin—Vita, und zwar S. 339, 27-340, 8 und S. 637,1 - 642,2 nach der redactio B. [2]) Daher kann von einer besonderen Konzilsgeschichte, die vermutlich mit Theodorets KG zusammengebunden gewesen sei, als Quelle nicht mehr die Rede sein, und der Kirchenhistoriker braucht sich, wie ich demnächst bei einer Quellenuntersuchung der genannten Konstantin-Vita ausführlich darlegen werde, wirklich nicht um «den Wert dieses seltsamen Exzerptes» zu bemühen. [3]) Es kann nur als indirekter Textzeuge für die Fassung B der Konstantin—Vita in Betracht kommen, was insofern nicht gerade unwichtig erscheint, weil in dem bereits von Guidi herangezogenen cod. Vatic. gr. 974 von S. 325, 21 bis 639,8 eine Lücke ist und auch der von mir zum ersten Male be-

---

[1]) S. Parmentiers Ausgabe S. 46, 11 — 47, 3. Dieselbe Stelle hat nach Parmentier auch Th. Joannu, Μνημεῖα ἁγιολογικά (Βενετία 1884) S. 215, 1, ebenfalls in einer Konstantinvita.

[2]) Un βίος di Costantino ed M. Guidi, Rendiconti della R Accademia dei Lincei, classe di scienze morali etc, serie quinta, XVI (1907). Ein Sonderabdruck erschien 1908; in diesem steht der Abschnitt S. 39, 27—46, 2. Nur die einleitenden Worte: καὶ ὁ δυσσεβὴς Ἄρειος πρὶν τῆς ἱερᾶς συνόδου stammen vom Verfasser des λόγος.

[3]) Compernass, Habilitationsschr. S 6.

nutzte gute cod. Monac. gr. 524 eine noch grössere, nämlich von S. 324, 10 bis 639,20 aufweist.

Natürlich bleibt die Frage bestehen, wie die Uebereinstimmungen zwischen Gregorios Presbyter und nun nicht mehr dem λόγος, sondern jetzt der Konstantin - Vita zu erklären sind; nur werden wir uns vor dem voreiligen Schluss hüten, die Konstantin—Vita hätte mit Theodorets KG in einem Codex zusammengestanden, weil «sich nur so die Tatsache erklärt, dass der Exzerptor die nämlichen beiden Quellen wie Gregorios ausgeschrieben hat».

Die Frage kann vielmehr jetzt nur so lauten: Hat die Konstantin—Vita den Gregorios oder Gregorios die Konstantin—Vita benutzt, oder gehen beide unabhängig voneinander auf eine gemeinsame Quelle zurück? Ich kann hierauf nur im Zusammenhang mit der Konstantin—Vita eine befriedigende Antwort geben, will aber doch schon hier verraten, dass nur der Verfasser der Konstantin—Vita der nehmende Teil gewesen ist und direkt aus des Gregorios Lobrede geschöpft hat. Es wäre doch auch zu auffallend, wenn Gregorios, der, wie Compernass selbst bemerkt, wenn auch noch so plump, so doch noch mit einer gewissen Selbständigkeit den Theodoret ausgeschrieben hat, hier in geradezu sklavischer Anlehnung an seine Vorlage vorgangen wäre.

Der λόγος ist also nur ein ganz blödes Machwerk, das sich mosaikartig aus den verschiedenen Exzerpten aus Theodoret und der Konstantin—Vita zusammensetzt; so erklärt sich auch der Titel, der neben den 318 Vätern auch besonders Kaiser Konstantins des Grossen Erwähnung tut. Für die Forschung ist er nach meinen Ausführungen hoffentlich für immer erledigt.

Köln a. Rh. Peter Heseler

Παρατηρήσεις εἰς παπύρους, Ἕλληνας ἰατροὺς καὶ Βυζαντιακοὺς συγγραφεῖς.

Ἐν Grenf. Greek. Pap. 49, 20 ἀναγινώσκεται «πλοῖον Ἑλληνικὸν... οὗ παράσημον παντόμορφος».

Τὸ *παντόμορφος* ἐν τῷ προκειμένῳ χωρίῳ ὁ μὲν Mahaffy ἐνόμισεν, ὅτι εἶνε ὁ πάμμορφος Πρωτεύς, ὁ δὲ Crönert παρέβαλε πρὸς τὴν παρὰ τῷ Πολυδεύκει Ε', 83 πολύμορφον πάρδαλιν, ὁ δὲ Φ. Κουκουλὲς (Παρατ. καὶ διορθ. εἰς τοὺς Ἑλλ. παπ. σ. 17) ἔγραψε περὶ αὐτοῦ τάδε: «Τὸ ἐλλεῖπον ἐνταῦθα οὐσιαστικὸν εἶνε τὸ κόρη. Πεντάμορφη, κατὰ παράλειψιν τοῦ οὐσιαστικοῦ κόρη, λέγεται σήμερον ἐν τοῖς παραμυθίοις μάλιστα, ἡ καλλίστη τὴν ἰδέαν κόρη. Ξύλιναι κόραι, σήμερον φιγοῦρες [καὶ *κυρίες*], ἐτίθεντο καὶ τίθενται ὡς παράσημα τῶν πλοίων, οὐδαμῶς λοιπὸν ἀμφιβάλλω, ὅτι ἡ παντόμορφος αὕτη οὐδὲν ἄλλο εἶνε ἢ ἡ ὡραία ξυλίνη πεντάμορφη».

Ὀρθῶς ὁ Κουκουλὲς εἰκάζει, ὅτι οὔτε περὶ τοῦ παμμόρφου Πρωτέως οὔτε περὶ ζῴου ὁμοίου πρὸς τὴν πολύμορφον πάρδαλιν εἶνε ὁ λόγος ἐν τῷ μνημονευθέντι χωρίῳ, ἀλλὰ περὶ κόρης παντομόρφου. Νομίζω δ' ὅμως, ὅτι τὸ *παντόμορφος*, δὲν εἶνε ἐπίθετον ξυλίνης τινὸς κόρης σημαῖνον ὅ,τι τὸ νῦν λεγόμενον *πεντάμορφη*, τουτέστι παγκαλλίστη, ἀλλ' εἶνε ἐπίθετον τῆς θεᾶς *Ἴσιδος*, ἥτις ἦτο παράσημον τοῦ Ἑλληνικοῦ πλοίου. Ἡ Ἶσις καλεῖται ἐν P. Oxy. 1380, II, 9, 70 *πολύμορφος* (πρβ. VI, 139—400 «ἐξ ἧς αἱ εἰκόνες καὶ τὰ ζῷα πάντων τῶν θεῶν»). Ἐταυτίζετο δὲ ἡ θεὰ αὕτη πρὸς ἄλλας τε πολλὰς θεότητας καὶ πρὸς τὴν Δήμητρα καὶ τὴν Φερρέφατταν ἢ Κόρην (Πλούτ. Περὶ Ἴσ. καὶ Ὀσίρ. 27 «αὐτὴ δὲ καὶ Ὄσιρις ἐκ δαιμόνων ἀγαθῶν... εἰς θεοὺς μεταβαλόντες... ἅμα καὶ *θεῶν καὶ δαιμόνων* οὐκ ἀπὸ τρόπου *μεμειγμένας* τιμὰς ἔχουσι, πανταχοῦ μέν, ἐν δὲ τοῖς ὑπὲρ γῆν καὶ ὑπὸ γῆν δυνάμενοι μέγιστον· οὐ γὰρ ἄλλον εἶναι Σάραπιν ἢ τὸν Πλούτωνά φασι καὶ Ἶσιν τὴν Περσέφασσαν κτέ.». Ἴδ. καὶ Pauly RE², IX, 2, σ. 2096 καὶ 2118). Ἦτο δὲ ἡ Ἶσις θεὰ *εὐμενὴς τοῖς ναυτιλλομένοις* (πρβ. τὸ ἐπίθετον αὐτῆς *Πελαγία* καὶ τὸ *regina marium*). Παρ' Ἰωάννῃ τῷ Λυδῷ Περὶ μηνῶν Δ', 32, σ. 101 Wuensch κεῖται «τῇ πρὸ τριῶν Νωνῶν Μαρτίων *ὁ πλοῦς τῆς*

Ἴσιδος ἐπετελεῖτο, ὃν ἔτι καὶ νῦν τελοῦντες καλοῦσι πλοιαφέσια· ἡ δὲ Ἶσις τῇ Αἰγυπτίων φωνῇ παλαιὰ σημαίνεται... καὶ προσηκόντως αὐτὴν τιμῶσιν ἐναρχόμενοι *τῶν θαλαττίων ὁδῶν* διὰ τὸ αὐτήν, ὡς ἐλέγομεν, τῇ φύσει τῶν ὑδάτων ἐφεστάναι»· (ἴδ. Pauly RE², IX, 2, σ. 2116—7). Ἐν δ' ἐπιγραφῇ ἀναθηματικῇ τῇ Ἴσιδι καὶ τῷ Σαράπιδι, ἣν ἐδημοσίευσεν ἐν Ath. Mitt. 1911 (σ. 287) ὁ Wiegand, συνεπλήρωσε καὶ ἀνέγνω «*Πα[ν]αφέσια*», ἀλλ' ὁ Deubner (αὐτ. 1912 σ. 180—1) ἀνέγνω ὀρθῶς «*Πλ[οι]αφέσια*». Ἡ ἐπιγραφὴ αὕτη, ἥτις προέρχεται ἐκ Βυζαντίου καὶ ἀνήκει εἰς τὸ α' ἢ β' ἔτος μ. Χ., εἶνε τὸ ἀρχαιότατον μαρτύριον τὸ ἀναφερόμενον εἰς τὴν ἑορτὴν ταύτην τὴν τελουμένην τῇ Ἴσιδι καὶ ἐν Ἑλληνικαῖς χώραις. (Ἴδ. καὶ Revue de phil. 1912 ἐν Bull. bibliogr. σ. 165). Σημειωτέον δ' ὅτι ἡ Ἶσις ἅτε ταυτιζομένη καὶ πρὸς τὴν Ἑκάτην καλεῖται καὶ *τρίμορφος* ἐν P. Oxy. 1380, 84 καὶ *τριοδεῖτις* (στ. 91). Πρβ. ἔτι καὶ τὸ ἐπίθ. αὐτῆς *γυπόμορφος* (αὐτόθι). Ἐκ δὲ τῶν εἰρημένων πιθανώτατον φαίνεται, ὅτι ἡ Ἶσις ἐκαλεῖτο οὐ μόνον *τρίμορφος* καὶ *πολύμορφος* ἀλλὰ καὶ *παντόμορφος*.

Ἐν P. Holm. ιη', 5 ἀπαντᾷ «πορφύρας καλῆς βαφή· λαβὼν ἔριον στρούθισον. εἶτα εἰς ἄσβεστον διυλισμένην στῦψον. εἶτα στυπτηρίᾳ καὶ ὕδατι ἔψυσον (sic)... εἶτα τῇ διὰ τοῦ οὔρου(ς) στύψει ἔψυσον (sic). εἶτα *ἀλήθισον*. ἔκκλυσον ὕδατι, εἶτα θαλάσσῃ καὶ ἀπόθου».

Ὁ ἐκδότης σημειοῦται σ. 209 «ἀλήθισον von einem bisher unbelegten ἀληθίζω, das ich bis auf die Endung mit hell. ἀλήθω 'mahle, zermalme' identificieren möchte. In der Erweiterung mit dem Suffix —ίζω giebt es eine gute Parellele in βαπτίζω neben βάπτω. Und so glaube ich das fragliche Verbum hier durch 'zerzupfe' übersetzen zu können».

Κατὰ τὴν ἐμὴν γνώμην δὲν ἔχει ὀρθῶς ἡ ὑπὸ τοῦ ἐκδότου γενομένη παραγωγὴ καὶ ἑρμηνεία τοῦ ῥήματος *ἀληθίζω*. Τοῦτο μόνον ἐκ τοῦ ἐπιθέτου *ἀληθὴς* δύναται νὰ προέλθῃ, καὶ σημαίνει οὐδὲν ἀλλ' ἢ *βάπτω δι' ἀληθινῆς πορφύρας*. Πρβ. αὐτόθι ιζ', 28 «*πορφύρας* ψυχροβαφὴ *ἀληθῶς* γενομένη». Γνωστὸν δ' εἶνε, ὅτι *πορφύρα ἀληθινὴ* εἶνε ἡ γνησία θαλασσία πυρφύρα καὶ τὰ δι' αὐτῆς βαπτόμενα (τὰ *ἁλοργὰ* ἢ *ἁλουργὰ* ἢ *ἁλουργῆ* ἢ *ἁλιπόρφυρα* ἄλλως λεγόμενα). Πρβ. Ξενοφ. Οἰκον. 10, 3 «*πορφυρίδες ἀληθιναί*», αἷς ἀντίκεινται αἱ *ἐξίτηλοι*. Διοκλητ. διάγρ. XXIV, 6 «*πορφύρας* Μειλησίας καλλίστης διβάφου *ἀληθινῆς*», (ἧς διακρίνονται δύο ποιότητες, «πορφύρα πρω-

τεία» καὶ «πορφύρα δευτερεία»). Ἀέτ. Ζ', σ. 137 α' «*πορφύρας ἀληθινῆς*» καὶ Ις', σ. 49, 11 «βαφείαν πορφύραν ἀληθινῇ», ὅπου ἔγραψα «*βαφείων* (ἢ *βαφέων*) *πορφύραν ἀληθινὴν*» (ἴδ. τὰς ἐμὰς Adnotationes crit. et gramm. ad medicos Graecos σ. 36—37). Πρβ. πρὸς τούτοις καὶ P. Oxy. I, 114, 7 «μαφόρτιν. . . *ἀληθινοπόρφυρον*». Τὸ δὲ διὰ ψευδοῦς πορφύρας βεβαμμένον λέγεται «*ψευδοπόρφυρον*» (P. Oxy. VII, 1051, 15 «κολόβιν γυναικεῖον ψευδοπόρφυρον»)· πρβ. Θεμίστ. ΚΑ', σ. 274 B «*πορφύραν ἐψευσμένην* τὸ ἄνθος» καὶ τὸ ΙΕ' ἀντίφωνον τῆς Μεγ. Πέμπτης «*ψευδῆ πορφύραν* περιβάλλεται ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις»· (εἶνε δὲ αὕτη ἡ ψευδὴς πορφύρα ἡ *κοκκίνη χλαμύς*, ἣν κατὰ τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον κζ', 28 οἱ στρατιῶται τοῦ ἡγεμόνος ἐνέδυσαν τὸν Ἰησοῦν· περὶ δὲ τοῦ ἐμπαιγμοῦ τούτου τοῦ Χριστοῦ ἴδ. Th. Birt *Griechisch—römischer Mummenschanz und die Verhöhnung Christi* ἐν «Aus dem Leben der Antike» [2] σ. 189—202). Σημειωτέον δέ, ὅτι τὸ ἐπίθετον *ἀληθινὸς* προσέλαβεν ἔπειτα τὴν σημασίαν τοῦ *πορφυροῦς*, παρελήφθη δὲ τὸ ὄνομα καὶ ἐν τῷ μεταγενεστέρῳ καὶ τῷ μεσαιωνικῷ Λατινισμῷ· ἴδ. Δουκαγγίου Gloss. ad script. med. et inf. Graec. ἐν λ. *ἀληθινὸς* καὶ Gloss. med. et inf. Lat. ἐν λ. *alithinus* καὶ Thes. ling. Lat. ἐν λ. *alethinus* καὶ Reiske εἰς Κωνστ. Πορφυρογ. τόμ. Β', σ. 188—9. Φέρεται δὲ καὶ παρὰ τῷ Μοσχοπούλῳ «*βύσσος τὸ κόκκινον βάμμα*, ὅπερ λέγουσιν ἰδιωτικῶς τὸ *ἀληθινὸν*» καὶ παρὰ τῷ Ἡσυχίῳ «*κιννάβαρι χρῶμα ἀληθινόν*». (Περὶ δὲ τῆς παραποιήσεως τοῦ πορφυροῦ χρώματος, «περὶ *κοκκηρᾶς* κλπ. *πορφύρας*», περὶ «*πορφύρας ῥιζίου*» καὶ *πορφύρας ῥιζοσήμου*», περὶ «*πορφύρας ἰσγένης* (ὑσγίνης) καὶ *ἀλγενησίας*» κλπ. ἴδ. τὰ γεγραμμένα ὑπ' ἐμοῦ ἐν τῇ *Ἐπιστημονικῇ Ἠχοῖ* τόμ. Ζ' (1920). σ. 53—54). Παρασημειωτέον δ' ὅτι ὁ Κουμανούδης ἐν τῇ *Συναγ. λέξ. ἀθησ.* σ. 13 ἔγραψεν «*ἀληθινόκρουστος*, 2, «*alethinocrustae* vestes». Cod. Theod. XV, 7, 11», ἐν δὲ σ. 391 παρετήρησε τάδε: «τὴν λέξιν ταύτην ἀφ' οὗ κατεχώρισε καὶ ὁ Weise ἐν σ. 333 τοῦ ἐν ἔτει 1882 ἐκδοθέντος βιβλίου του Die griech. Wörter im Latein, ὕστερον ἐν ταῖς Προσθήκαις καὶ διορθώσεσι κελεύει νὰ σβεσθῇ, ἐπειδὴ ἡ νῦν, λέγει, γραφὴ τοῦ χωρίου εἶνε· a *Latino crustas*. Ἐγὼ δὲ ὡς μὴ εὐκολυνόμενος νὰ ἐξετάσω, ἂν ἐκ χειρογράφων αὕτη ἡ νῦν γραφὴ προέρχεται ἢ ἔκ τινος διορθώσεως ἐκδότου, δὲν μεταβάλλω τι, καθ' ὅσον βλέπω ὅτι καὶ ὁ Marquardt ἐν Roem. Privatalterth. II Abth. σ. 127 ἀνυπόπτως

παρέθηκε τὴν λέξ. *alethinocrustae* καὶ τὴν ἐξήγησέν ὡς δηλοῦσαν ὕφασμα, οὗ τὸ ὑφάδιον ἢ τὸ στημόνιον ἦσαν πορφυρόχροα ἔρια, κατ' ἀντίθεσιν πρὸς τὰς holoveras vestes».

Ἐν Catal. papyrorum Raineri I, 247,7 εἶνε ἐκδεδομένον «μέλιτος ἀπ(ηθημένου)», ὁ δὲ K. Fr. W. Schmidt ἐν κρίσει αὐτοῦ καταχεχωρισμένῃ ἐν τῇ Phil. Wochens, 1924, σ. 698 γράφει «vgl. Plin. N. H. XXII, 109: *usus (mellis) despumati semper aptior*».

Ἀλλὰ τὸ τοῦ Πλινίου (mellis) *despumati* δῆλον ποιεῖ, ὅτι ἐν τῷ προκειμένῳ χωρίῳ τοῦ παπύρου πρέπει νὰ ἀναγνωσθῇ «μέλιτος *ἀπ(ηφρισμένου)*» ἀντὶ τοῦ «ἀπ(ηθημένου)». Πρβ. Γαλην. τόμ. ϛ', σ. 266 «μέλι... ἀκριβῶς *ἀπηφρισμένον*» καὶ «μέλι *προαπηφρισμένον*». Ἀέτ. Θ', σ. 324,8 «μέλιτος *ἀπηφρισμένου* τὸ ἀρκοῦν» καὶ σ. 345,30 «προσλαβὼν (γρ. προσβαλὼν) μέλι *ἀπηφρισμένον*». Γεωπον. Η', 27,2 «μέλιτος καλλίστου *ἀπηφρισμένου*» καὶ 30,1 «μέλιτος *ἀπηφρισμένου*» καὶ 29,1 «τὸ μέλι *ἀπαφρίσας*».

Σημειωτέον δ' ὅτι παρὰ τῷ Ἀετίῳ Ιϛ', σ. 116 ἐξέδωκεν ὁ Σ. Ζερβος «ὅθεν χρὴ *προεπαφρίζειν* τὸ μὴ καθαρὸν μέλι· καθίσταται γάρ, εἰ *ἐπαφρισθῇ* ἐν μιᾷ ἡμέρᾳ τὸ πρόπομα κτέ.», ὑποσημειοῦται δὲ «*προαποφρίζειν* B» καὶ «*ἀποφρισθῇ* B». Ἐκ τῶν ἤδη εἰρημένων εἶνε φανερόν, ὅτι ἐν τῷ χωρίῳ τοῦ Ἀετίου γραπτέον εἶνε «*προαπαφρίζειν*» καὶ «*ἀπαφρισθῇ*».

Ἐν τῷ αὐτῷ Cat. pap. Rain. I, 41,4 εἶνε ἐκδεδομένον *βαλαυστρινόν*, ὁ δὲ K. Fr. W. Schmidt γράφει ἐν τῇ Phil. Wochens. 1924, σ. 699: «scheint statt βαλαυστρινὸν eher βαλαυστεϊνὸν gelesen werden zu müssen. Adiectivbildung zu βαλαύστιον mit Dissimilation». Ἡ εἰκασία αὕτη φαίνεταί μοι πιθανή, ἀλλ' ἀναγκαίως ἔχει νὰ προενεχθῇ τὸ ὄνομα προπαροξυτόνως *βαλαυστέϊνος*, ὅπερ ἠδύνατο νὰ σχηματισθῇ κατὰ τὰ ἄλλα εἰς —*έϊνος* λήγοντα ὀνόματα. Ταῦτα δὲ κατ' ἀρχὰς ἐγένοντο διὰ τῆς καταλήξεως —*ινος* ἐξ ὀνομάτων ληγόντων εἰς —*έα* ἢ —*εια* ἢ —*έως* οἷον *ἀρέϊνος* (ἐκ τοῦ *ἀρέα* ἐν ἐπιγραφῇ τῆς Δήλου, ἴδ. Herwerden *Lex. Gr.*), *ἀκτέϊνος* (ἐκ τοῦ *ἀκτέα*, ἴδ. Herw. *L. G.*), *ἰτέϊνος* (ἐκ τοῦ *ἰτέα*), *κρανέϊνος* (ἐκ τοῦ *κράνεια*), *περσέϊνος* (ἐκ τοῦ *περσέα* ἐν τῷ ἐμῷ ἀνεκδότῳ Λεξικῷ ἀθησαυρίστων), *πτελέϊνος* (ἐκ τοῦ *πτελέα*), *φλέϊνος* (ἐκ τοῦ *φλέως*), κτλ. Εἶτα δὲ κατ' ἀναλογίαν τούτων ἐγένοντο καὶ ἄλλα ὀνόματα διὰ

τῆς καταλήξεως —*εῖνος*, οἷον *μελεῖνος* (ἐκ τοῦ *μελία* ἐν Ἀττικῇ ἐπιγραφῇ, ἴδ. Meisterhans—Schwyzer *Gramm. d. att. Inschr.*[3] 18,3, καὶ παρὰ τῷ Ἡσυχίῳ), κτλ. Πρβ. Lobeck εἰς Φρύν. σ. 293, Κ. Κόντον ἐν τῇ «Ἀθηνᾷ» τόμ. Δ', σ. 314 κἑξ., Γ. Χατζιδάκιν ἐν τῇ Einleitung σ. 181 καὶ ἐν τοῖς ΜΝΕ τόμ. Β', σ. 117—8.

Παρὰ τῷ Γαληνῷ (Ψευδογαληνῷ) Περὶ εὐπορίστων, τόμ. ΙΔ', σ. 367 ἀπαντᾷ « *εἰ* τοίνυν εἴτε ἔλαιον εἴη τὸ ἐπαντλούμενον.. εἴτε κατάπλασμα, παραπλέκειν τι τῶν στυφόντων κτἑ.».

Ἡ ὀρθὴ γραφὴ εἶνε «*δεῖ* τοίνυν, εἴτε ἔλαιον εἴη κτἑ.», ὡς φέρεται παρὰ τῷ Ἀετίῳ Θ'. σ. 304, 9 κἑξ. Ζερβ. (ἐν τῷ ιε' κεφ. τῷ ἐπιγεγραμμένῳ «Περὶ φλεγμονῆς ἐν στομάχῳ Γαληνοῦ»).

Αὐτόθι σ. 438 εἶνε ἐκδεδομένον «ἢ ἀμόργη ἐν χαλκῷ ἑψηθείσῃ μέχρι μελιτώδους *στάσεως*».

Γράφε «μέχρι μελιτώδους *συστάσεως*»· ὀρθῶς δ' ἔχει ἡ Λατινικὴ μετάφρασις «aut amurca... ad mellis *consistentiam* cocta». Πρβ. Διοσκορ. Γ', 7(9) Κ «ἕψεται μέχρι *μελιτώδους συστάσεως*». Ὀρειβ τόμ. Δ', σ. 558, 41 καὶ 559,1 «ἕψεται ἕως *μελιτώδους συστάσεως*» καὶ σ. 601,7 «ἑψήσας τὸ ψιμύθιον μέχρι *μελιτώδους συστάσεως*». Ἀέτ. Γ', σ. 53 β' καὶ 54 α'-β' «ἕψε μέχρι *μελιτώδους συστάσεως*». Ἀλέξ. Τραλλ. τόμ. Β', σ. 225 «ἕψησον μέχρι *μελιτώδους συστάσεως*» καὶ σ. 273 «ἄχρι *μελιτώδους συστάσεως*». Πρβ. ἔτι Γαλην. τόμ. ΙΒ', σ. 660 «ὡς γενέσθαι *μελιτῶδες*» καὶ σ. 680 «μέχρι *μελιτῶδες* γενέσθαι» καὶ σ. 622 «μέχρι *μέλιτος σχῇ πάχος*» καὶ σ. 625 «ὡς *μέλιτος σχεῖν πάχος*» καὶ σελ. 629 «*μέλιτος πάχος* ποιῶν» κτλ. Πλεῖστα παραδείγματα τῆς παρὰ τοῖς ἰατροῖς χρήσεως τῆς λέξεως *σύστασις* μέλλω νὰ καταλέξω ἐν ἄλλῳ τόπῳ.

Παρὰ τῷ αὐτῷ τόμ. ΙΔ', σ. 531 k. φέρεται «ἐμετικόν, ὃ παρείληφα ὡς μύστρον», μεταφράζεται δὲ «quod mystri mensura accipitur».

Ἐν τῷ προκειμένῳ χωρίῳ δὲν ἔχει ὑγιῶς τὸ «ὃ παρείληφα ὡς *μύστρον*», νομίζω δ' ὅτι γραπτέον εἶνε «ὃ παρείληφα ὡς *μυστήριον*», ὡς κεῖται παρὰ τῷ Γαληνῷ τόμ. ΙΓ', σ. 96 «ἄλλη ἀνώδυνος τὸ *μυστήριον*, ὡς Νικήρατος, πρὸς φθισικούς, βηχικούς, κτἑ.». Παρὰ τῷ Ἀρεταίῳ σ. 132, 47 Κ. ἀπαντᾷ «τὸ μάλαγμα ἐπίκλησιν τὸ χλωρὸν καὶ τοὐμὸν *μυστήριον*». Ὁ Petrus Petitus σημειοῦται (σ. 714):

«ita veteres medici sua medicamenta, quae sibi ipsi componebant, et propria esse volebant, cognominabant: velut ex Galeno etiam colligi potest, qui lib. 2 de composit. medic. κατὰ τόπους de quadam compositione verba faciens: τοῦτο (inquit) ἀπὸ 'Ρουστίκου ὡς μυστήριον ἐλάβομεν». Ἐν δὲ τῷ πίνακι τοῦ Ἀρεταίου σ. 851 Kühn εἶνε γεγραμμένα τάδε: «μυστήριον τοὐμόν, 132,47, *arcanum meum in medicamentum, mihi proprium.* Hanc vocem in hac significatione raram repertu puto... Notat Henr. Stephanus... τετραφάρμακον (teste Gorraeo) apud medicos vocari μυστήριον» καὶ ἐν σ. 913: «formam emplastri ita denominati habet Aetius, Tetrab. 4. Serm. 3. cap. 14». Ἐν δὲ τῇ Διδοτείῳ ἐκδόσει τοῦ Θησαυροῦ τοῦ Στεφάνου (λ. μυστήριον) ἀναγινώσκονται τάδε: «μυστήριον, antidoti nomen. V. τετραφάρμακος. Quo tussi medeatur, sec. Alex. Trall. 5, p. 248. Nihil huc pertinet quod Aret. p. 132, 47, dicit τοὐμὸν (φάρμακον) μυστήριον, Arcanum medicamentum». Εὗρον δὲ τὸ ὄνομα καὶ παρὰ τῷ Μυρεψῷ ἐν κώδ. Ἐθν. Βιβλ. 1478, φύλλ. 99 β' «κολλούριον ἱέραξ τὸ καλούμενον *μυστήριον*» (ἴδ. τὰς ἐμὰς Adnot. crit. et gramm. ad medicos Graecos σ. 17).

Παρὰ τῷ Ὀρειβασίῳ τόμ. Δ', σ. 574 φέρεται «σικυαζέσθωσαν καὶ καταγυμνασίαν μετιέτωσαν· εἰ διατενὲς εἴη τὸ σύμπτωμα κτέ».

Γραπτέον «σικυαζέσθωσαν *μετὰ τὰ γυμνάσια,* εἶτ' *ἐμείτωσαν·* εἰ δ' ἀτενὲς εἴη τὸ σύμπτωμα» κτλ. Πρβ. Ἀέτ. Θ', σ. 331,12 κἑξ. «οἱ δ' ἐν ἀναλήψει ὄντες... σιναπιζέσθωσάν τε καὶ μετὰ πολλοῦ πυρὸς σικυαζέσθωσαν *μετὰ τὰ γυμνάσια, εἶτ' ἐμείτωσαν*». Ἐν τῇ «Βυζαντίδι» τόμ. Β', σ. 530 διώρθωσα τὸ προκείμενον χωρίον τοῦ Ἀετίου κατὰ τὸ τοῦ Ὀρειβασίου, οὗ τὸ «μετιέτωσαν» μετέβαλον εἰς τὸ «μετίτωσαν». Ἀλλ' ἤδη μετεδιδάχθην ἀναγνοὺς τὰ ὑπὸ τοῦ Γαληνοῦ εἰρημένα τόμ. Ϛ', σ. 391 «πρὸς δὲ τὴν ἄνω γαστέρα φερομένου (τοῦ περιττοῦ τῆς χολῆς), δι' ἐμέτων ἐκκενοῦν μακρὰν χαίρειν εἰπόντας ἐκείνοις τῶν φιλοσόφων, ὅσοι κωλύουσι *μετὰ τὰ γυμνάσια* πρὸ τῆς τροφῆς ἀφ' ὕδατος χλιαροῦ *ἐμεῖν*». Περὶ δὲ τοῦ *ἀτενὴς* πρβ. τὰς ἐμὰς Adnot. crit. et gramm. ad med. Gr. σ. 10.

Παρὰ τῷ Ἀετίῳ Ζ', σ. 145 α' ἀπαντᾷ «παχύνει καὶ *περικολλᾷ* τὰ ῥεύματα».

Γραπτέον καὶ *παρακολλᾷ* τὰ ῥεύματα». Ὑπὸ τῶν ἰατρῶν λέγεται

«παρακολλητικὴ ἀγωγή», *«κολλητικὴ ἀγωγή»*, *«κολλητικὴ θεραπεία»*, «θεραπεύειν *κολλητικῶς»*, *«κολλητικὸς* τῆς θεραπείας τρόπος» (ἴδ. τὰς ἐμὰς Adnot. etc. σ. 12 καὶ 13).

Παρὰ τῷ αὐτῷ Ἀετίῳ Ι϶΄, σ. 54 ἐξέδωκεν ὁ Σ. Ζερβὸς «ἰδίως δὲ τὰς περὶ τὸν ἅλμυρὸν χυμὸν ἠδικημένας διά τε λουτρῶν... ἀνακλητέον».

Συχνὴ ἐν τοῖς ἀντιγράφοις εἶνε ἡ σύγχυσις τῶν προθέσεων *παρὰ* καὶ *περί*, διὸ καὶ ἐν τῷ προκειμένῳ χωρίῳ γραπτέον «τὰς *παρὰ* τὸν ἅλμυρὸν χυμὸν ἠδικημένας», *propter succum salsum*. Πρβ. σ. 37 κἑξ. «γίνεται δυστοκία καὶ *παρὰ* τὸ σκολιὸν ἔχειν τὸν τράχηλον τῆς μήτρας, ἢ *παρὰ* τὸ φλεγμονήν... ἔχειν» καὶ «γίνεται δυστοκία καὶ *παρὰ* τὸ λίθον ἔχειν ἐν τῇ κύστει τὴν τίκτουσαν» (ὅπου εἷς κῶδιξ ἔχει κακῶς «*περὶ* τὸ λίθον ἔχειν») καὶ «γίνεται δυστοκία καὶ *παρὰ* τὸ κοιλότερον εἶναι τὸν παρὰ τὴν ὀσφὺν τόπον... ἢ *διὰ* περιττωμάτων πλῆθος» καὶ «δυστοκία γίνεται καὶ *παρὰ* τὰ γεννώμενα· ἢ *παρὰ* τὸ ὅλον μέγα εἶναι τὸ ἔμβρυον ἢ *παρὰ* τὸ μέρη τινὰ εὐμεγέθη ἔχειν... ἢ *παρὰ* τὸ δίδυμα εἶναι τὰ τικτόμενα... ἢ *παρὰ* τὸ τεθνηκέναι τὸ ἔμβρυον... ἢ *παρὰ* τὸ παρὰ φύσιν ἐσχηματίσθαι» κτλ.

Ὡσαύτως δ' ἐξέδωκεν ὁ Ζερβ. καὶ σ. 36 «ἀσυλληψία γίνεται ἢ *περὶ* τὸν ἄνδρα ἢ *περὶ* τὴν γυναῖκα ἢ καὶ *περὶ* ἀμφοτέρους· *περὶ* μὲν τὸν ἄνδρα κτλ.» καὶ σ. 37 «*περὶ* δὲ τὴν γυναῖκα». Νομίζω δ' ὅτι καὶ ἐνταῦθα δέον νὰ μεταβληθῇ ἡ *περὶ* πρόθεσις εἰς τὴν *παρά*. Σημειωτέον δέ, ὅτι ἐν σ. 37 ἀντὶ τοῦ «*περὶ* δὲ τὴν γυναῖκα» εἷς κῶδιξ ἔχει τὴν ὀρθὴν γραφὴν «*παρὰ* δὲ τὴν γυναῖκα», ἣν παρεῖδεν ὁ ἐκδότης. Περὶ τῆς σημασίας ταύτης τῆς *παρὰ* προθέσεως μετὰ αἰτιατικῆς ἴδ. Kühner—Gerth *Ausf. Gramm.* μέρ. Β΄, τόμ. Α΄, σ. 513 (--3. Kausal u. bildlich: a) zur Angabe von einwirkenden Umständen, wie *propter*: parallel mit etw., daher *vermöge*... So: παρὰ τοῦτο, παρό, *quapropter*»). Περὶ δὲ τῆς συγχύσεως τῶν προθέσεων *παρὰ* καὶ *περὶ* ἐν τοῖς ἀντιγράφοις ἴδ. καὶ τὰ ὑπ' ἐμοῦ γεγραμμένα ἐν τῇ «Ἀθηνᾷ», τόμ. ΙΗ΄ (1906), σ. 215.

Παρὰ τῷ αὐτῷ ἐν τῷ ξη' κεφ. τῷ ἐπιγεγραμμένῳ «Περὶ γονορροίας, Σωρανοῦ», σ. 106 ἔγραψεν ὁ Ζερβ. «διὸ προσφάτου μὲν ὄντος αὐτοῦ... *παρηγορικὰ ἀκτέα τὰ* ἠρέμα στύφοντα ἀφεψήματα κτἑ.»· Ἀλλὰ παρὰ τῷ Σωρανῷ σ. 236, 12 κἑξ. Erm. κεῖται «*παρηγορικῶς*

ἀκτέον καὶ τὰ ἠρέμα στύφοντα *καὶ στέλλοντα προσακτέον»*. Λέγεται δὲ ὑπὸ τῶν ἰατρῶν «*παρηγορικὴ ἀγωγή*», «*παρηγορικὴ ἐπιμέλεια*», «*παρηγορικῶς θεραπεύειν*», (ἴδ. τὰς ἐμὰς Adnot. etc. σ. 13), διὸ ὀρθῶς ἔχει τὸ ἐν τῇ ἐκδόσει τοῦ Σωρανοῦ φερόμενον «*παρηγορικῶς ἀκτέον*», οὐχὶ δὲ τὸ ἐν τῇ ἐκδόσει τοῦ ΙϚ′ λόγου τοῦ Ἀετίου «*παρηγορικὰ ἀκτέα*».

Παρ' Ἀλεξάνδρῳ τῷ Τραλλιανῷ τόμ. Β′, σ. 325 ἐξέδωκεν ὁ Puschmann «ἄρτος μὲν οὖν ἐπιτήδειος τούτοις πρό γε πάντων εἰς οἶνον διδόμενος ἢ μυρτίτην ,ἢ *ὀμφακόμελι* ἢ Παλματιανὸν χωρὶς Σαρεφθίνου, καὶ μάλιστα μὴ πυρέττοι ὁ κάμνων».

Οἱ κώδικες ἀντὶ τοῦ *ὀμφακόμελι* ἔχουσι τὴν γραφὴν *ὄμφακα*. Ἐπειδὴ δὲ ὁ λόγος εἶνε πάντως περὶ οἴνου, τὸ *ὀμφακόμελι* δὲν ἔχει ὀρθῶς· διὸ γραπτέον *ὀμφακίαν* ἢ *ὀμφακίτην*. Ὅτι δὲ τὸ *ὀμφακόμελι* δὲν ἁρμόζει, «*εἰ μὴ πυρέττοι* ὁ κάμνων», γίνεται δῆλον ἐκ τῶν ἐν τοῖς ἔπειτα λεγομένων: «*εἰ δὲ πυρέττει* μὲν ὁ κάμνων .. *οὐ δεῖ τὸν ἄρτον αὐτοῖς εἰς οἶνον παρέχειν*, ἀλλ' εἰς *ὀμφακόμελι* ἢ εἰς τὸ Κιβυρατικὸν ὑδρόμηλον κτἑ.».

Παρὰ τῷ αὐτῷ τόμ. Β′, σ. 101 ἀναγινώσκεται «διά τε τοῦ ὀξυμέλιτος τοῦ καλουμένου *Ἰουλιανίου*» καὶ σ. 257 «τῷ ὀξυμέλιτι... τῷ *Ἰουλιανιῷ* καλουμένῳ» καὶ σ. 521 «τὸ *Ἰουλιανιὸν* ὀξύμελι» (δίς).

Γράφε «*Ἰουλιανείου*» καὶ *Ἰουλιανείῳ*» καὶ «*Ἰουλιάνειον*»· καλεῖται δ' οὕτω τὸ ὀξύμελι τὸ σκευασθὲν ὑπὸ τοῦ Ἰουλιανοῦ (Γαλην. τόμ. ΙΔ′, σ. 401 «ὀξύμελι τοῦ *Ἰουλιανοῦ*»). Εἶνε δὲ πασίγνωστον, ὅτι τὰ ἀπὸ ὀνομάτων προσώπων παραγόμενα ἐπίθετα λήγουσιν οὐχὶ εἰς —*ιος* ἀλλ' εἰς —*ειος*. Ὀρθῶς εἶνε γεγραμμένον τὸ ἐπίθετον παρὰ τῷ Γαληνῷ τόμ. ΙΒ′, σ. 560 «ὀξύμελι... τό τε ἁπλοῦν καὶ τὸ *Ἰουλιάνειον*». Τὴν δ' ἐσφαλμένην γραφὴν βλέπει τις καὶ ἐν τῇ νεωτάτῃ ἐκδόσει Παύλου τοῦ Αἰγινήτου (Corp. med. Gr. IX, 1 ὑπὸ Heiberg) βιβλ. Γ′, σ. 226 «διὰ τοῦ *Ἰουλιανίου* ὀξυμέλιτος». (Πρβ. ἃ ἔγραψα περὶ τοῦ ὀνόματος *Πολυάρχειον* ἐν Adnot. etc. σ. 33—4 καὶ περὶ τοῦ ὀνόματος *Ἀνδρώνειος* σ. 14-5).

Αἱ ἐσφαλμέναι γραφαὶ τῶν τοιούτων ἐπιθέτων ἀπαντῶσι πολλάκις ἔν τε τοῖς ἀντιγράφοις κα ἐν ταῖς ἐκδόσεσι τῶν Ἑλλήνων ἰατρῶν. Εἶνε δὲ προσέτι γνωστόν ὅτι ἔμπλαστροι, ἐπιθέματα, μαλάγματα, τροχίσκοι, κολλύρια καὶ καθόλου φάρμακα δηλοῦνται πολλάκις παρὰ τοῖς ἰατροῖς διὰ τοῦ ὀνόματος τοῦ εὑρόντος ἢ ἄλλως

πως σκευάσαντος αὐτὰ κατὰ γενικὴν πτῶσιν, οἷον «τροχίσκος ὁ *Πασίωνος* ἢ *Ἄνδρωνος* ἢ *Πολυείδου*», «τὸ πάνυγρον *Γαληνοῦ*», «μηλίνη *Σεραπίωνος*, *Πασίωνος* κλπ.», «μέλαινα *Ἀσκληπιάδου*, *Ἡρᾶ*, *Ἱκεσίου*», «Αἰγυπτία *Ἀνδρομάχου*», «ἡ *Ἀσκληπιάδου* ῥοδίνη», «ἡ φοινικίνη *Γαληνοῦ*», «τὸ *Πολυάρχου* μάλαγμα, ἐπίθεμα», «*Ἀντιγόνου* κροκῶδες κολλύριον», κτλ. Ἀλλὰ καὶ ταῦτα τὰ ὀνόματα πολλάκις εὑρίσκονται μεταβεβλημένα καὶ ἐν τοῖς χειρογράφοις καὶ ἐν ταῖς ἐκδόσεσιν. Οὕτως ὁ *Πολυείδου* τροχίσκος ἐγένετο *πολυειδὴς* παρὰ τῷ Ἀετίῳ ΙΒ', σ. 110, 1926 καὶ τῷ Λέοντι σ. 175 (ἴδ. τὰς ἐμὰς Adnot. etc. σ. 14 5), ἡ ἱερὰ *Λογαδίου* μετεβλήθη εἰς φάρμακον *λογάδιον* (ἴδ. τὰ ἐμὰ «Διορθωτικὰ καὶ Γραμματικὰ» σ. 5), ἡ *Ζηνοφίλου* ἀντίδοτος παραφθαρεῖσα ἐγένετο *τὸ ζινόφυλλον* (zenae folium) ἐν τῷ Γλωσσαρίῳ τοῦ Δουκαγγίου (ἴδ. τὰ ἐμὰ «Ἀνάλεκτα Φιλολογικὰ» κεφ. δ' ἐν τῇ «Ἀθηνᾷ» τόμ. ΚΓ', σ. 109), κτλ. Περὶ πάντων τούτων θὰ εἴπω τὰ δέοντα ἐν ἄλλῳ τόπῳ.

Παρὰ τῷ αὐτῷ τόμ. Β', σ. 385 φέρεται «φοίνικας...κοπέντας ἐπιμελῶς μετ' ἴσης κηρωτῆς ῥοδίνης ἐν ὅλμῳ γνησίως ἑνώσας μικρὸν περιστάξας ῥόδινον ἐπιτίθει».

Ἀντὶ τοῦ *περιστάξας* ἀνάγνωθι *παραστάξας*. Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου εἶνε γεγραμμένα τάδε: «*παραστάζω*, instillo, Hippocr. p. 684,8 ὕδωρ π. 631,28; 660,48. Galen. 14, p. 309,6 *παραστάζων* μέλι. 531,9 *παράσταξον* οἴνου μυρτίνου. 86,6 «*παρασταζομένου* βραχυτάτου μέλιτος». Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Γαληνῷ τόμ. ΙΓ', σ. 219 «μικρὸν *παραστάζων* ῥόδινον» καὶ παρὰ τῷ Ὀρειβασίῳ τόμ. Δ' σ. 13 «ἵνα..., ψυχρὸν ὕδωρ *παραστάζηται* τῷ τρυπάνῳ» καὶ παρὰ τῷ Ἀετίῳ ΙΕ', σ. 119, 21 «*παράσταζε* οἶνον βοστρυχίτην» καὶ Ις', σ. 129,17 «λέαινε *παραστάζων* ᾠοῦ τὸ λευκὸν» καὶ παρὰ Παύλῳ τῷ Αἰγινήτῃ σ. 47 «ἡδύοσμον... ὠφελεῖ *παρασταζομένου* καὶ ῥοδίνου» καὶ ἐν τοῖς εἰς Ὀρειβ. Σχολίοις τόμ. Δ', σ. 531, 9 «τὸ ψυχρὸν ὕδωρ βούλεται *παραστάζεσθαι*» καὶ 13 «τὸ ψυχρὸν ὕδωρ *παραστάζεται*». Παρασημειωτέον δ' ὅτι φέρεται παρὰ τοῖς ἰατροῖς καὶ τὸ ῥῆμα *παρενστάζειν* — *παρενστάζεσθαι*, οἷον παρὰ τῷ Σωρανῷ σ. 291,20 Rose καὶ παρὰ τῷ Ὀρειβασίῳ τόμ. Ε', σ. 205,3 «διὰ ἐλαίου... *παρενσταζομένου* καὶ τοῖς ἀκουστικοῖς πόροις» καὶ παρὰ τῷ Ἀετίῳ Δ', σ. 67 β' «χλιαρὸν ὑδρόμελι *παρενστάζειν*»· ἴδ. καὶ Θησ. Στεφ. ἐν λ., ὅπου μνημονεύεται ἓν μόνον παράδειγμα.

Ἐν Act. Apost. Apocr. A΄, σ. 115 ἀναγινώσκεται «ὡς δὲ ἀπετίναξεν αὐτοῦ (τοῦ ἀποστόλου Παύλου) ὁ σπεκουλάτωρ τὴν κεφαλήν, γάλα ἐπύτισεν εἰς τὴν κεφαλὴν τοῦ στρατιώτου».

Ὁ ἐκδότης R. Lipsius σημειοῦται: «ἐπύτησεν A. restitui ἐπύτισεν, non est enim quod corrigas ut in ed. 1 ἐπιτύλισεν». Τὸ *ἐπύτισεν* ἔχει ὀρθῶς (πρβ. καὶ *ἀναπυτίζω*, *ἀποπυτίζω*, *διαπυτίζω*, *ἐκπυτίζω*). Ἀντὶ δὲ τοῦ *ἐπιτύλισεν* (ἀόρ. τοῦ *πιτυλίζω*) εὐαρμοστότερον τῷ λόγῳ εἶνε τὸ *ἐπετίλησεν*, ὅπερ σημαίνει ὅ,τι τὸ νῦν λεγόμενον *ἐπιτσίλησε*. Ὁ Κοραῆς γράφει ἐν Ἀτ. τόμ. B΄, σ. 300 κἑξ. «*πιτζιλῶ* ἢ *πιτζιλίζω*. Λέγεται διὰ τοὺς σταλαγμοὺς τῶν ὑγρῶν, ὅσα ἀποπηδοῦν καὶ ῥαντίζονται μὲ βίαν. Ἡ λέξις παράγεται ἀπὸ τὸ *τιλῶ* καὶ μὲ τὴν πρόθεσιν *ἐπιτιλῶ* κτλ.».

Ἡ δὲ παράδοσις, ὅτι ἀπὸ τοῦ ἀποτμηθέντος τραχήλου ἢ ἄλλου μέλους τοῦ σώματος μαρτύρων τοῦ Χριστοῦ ἔρρευσε γάλα, εἶνε συχνή. Οὕτως ἐν τῷ συναξαρίῳ τοῦ Ἁγ. Παντελεήμονος Μην. Ἰουλίου κζ΄ φέρεται, ὅτι μετὰ τὴν ἀποτομὴν τῆς κεφαλῆς τοῦ μάρτυρος «λέγεται ἀντὶ αἵματος γάλα ῥυῆναι». Πρβ. καὶ τὸ ἔμμετρον μαρτυρολόγιον «*γαλα(κ)τόμικτον*, μάρτυς, αἷμα σῆς κάρας, | δι' ἣν ὑδατόμικτον ὁ Χριστὸς χέει». Παρὰ Συμ. τῷ Μεταφράστῃ Patr. Gr. τόμ. 115, σ. 268 A λέγεται περὶ τοῦ Ἁγίου Βίκτωρος, ὅτι «ἐκρούσθη τῷ ξίφει καὶ ἐξῆλθον αἷμα καὶ γάλα, ὥστε πάντας θαυμάσαι τοὺς περιεστῶτας». Ὡσαύτως ἑπτὰ γυναῖκες βασανιζόμεναι ἐξέβαλον γάλα ἀντὶ αἵματος (Συμ. Μεταφρ. ἐν Βίῳ Ἁγ. Βλασ. Patr. Gr. τόμ. 116, σ. 825), γάλα ἔρρευσεν ἐκ τοῦ ἀποτμηθέντος τραχήλου τῆς Ἁγίας Αἰκατερίνης (ὁ αὐτὸς αὐτόθι σ. 301 A) καὶ ἐκ τῶν ἀποκοπέντων μαστῶν τῆς Ἁγίας Πίστεως θυγατρὸς τῆς Ἁγίας Σοφίας (ὁ αὐτὸς αὐτόθι τόμ. 115, σ. 505 A).

Ἐν Act. S. Demetrii *Patrol. Gr.* τόμ. 116, σ. 1213 C—D κεῖται «ὁ δὲ εἰσελθὼν καὶ ἰδὼν τὴν εὐπρέπειαν τοῦ οἴκου . . . εἶπε τοῖς βαστάζουσιν αὐτὸν οἰκέταις· ῥίψατέ με *πλωτὸν* εἰς τὸ ἔδαφος. κτἑ.».

Ἀντὶ τοῦ «ῥίψατέ με *πλωτὸν* εἰς τὸ ἔδαφος» νομίζω, ὅτι ἀνάγκη εἶνε νὰ γραφῇ «ῥίψατέ με *ἁπλωτὸν* εἰς τὸ ἔδαφος», τουτέστιν «*ἁπλώσατε* ἢ *ἐξαπλώσατέ* με εἰς τὸ ἔδαφος», ὡς λέγομεν νῦν (ὁ εἰπὼν ταῦτα ἦτο παράλυτος καὶ ἠδυνάτει νὰ κινῆται). Πρβ. Varia Graeca sacra σ. 47,49 Παπαδ. Κεραμ. «ἔρριψεν ἑαυτὸν *ἁπλωτὸν* εἰς τὸ ἔδαφος». Σημειωτέον δ' ὅτι τοῦ ἐπιθέτου *ἁπλωτός*, ὃ ἔχω καταλέξει ἐν τῷ

ἐμῷ ἀνεκδότῳ Λεξικῷ ἀθησαυρίστων, ἀπαντᾷ καὶ ἕτερον μαρτύριον ἐν Βίῳ Ἀλεξάνδρου στ. 5241 Wagn. «τράπεζαι δ' ἦσαν *ἁπλωταὶ* μετ' ὕλης (γρ. μεθ' ὕλης) ἐλεφάντων», ἀνθ' οὗ παρὰ τῷ Ψευδοκαλλισθένει σ. 779 Meusel φέρεται «τράπεζαι δὲ ἐλεφαντίνης ὕλης *ἡπλωμέναι*». Πρβ. τὸ ἐν Ἀττικῇ ἐπιγραφῇ ἀπαντῶν «τράπεζα *ἠλεφαντωμένη*» (ἴδ. Herwerden *L. G.* ἐν λ. *ἐλεφαντοῦν*) καὶ Μουσών. παρὰ Στοβ. Ἀνθ. ΠΕ', 20 «κλῖναι μὲν *ἐλεφάντιναι* καὶ ἀργυραῖ... *τράπεζαι* δὲ παραπλησίας ὕλης».

Παρ' Ἰωάννῃ τῷ Τζέτζῃ ἐν Var. sacr. Gr. σ. 84, 25 φέρεται «οὐδὲ κοσμεῖν πρόσωπον...ἐμφοιβουμένη καὶ ἐγχουσίζουσα».

Ἐμφοιβουμένη ἔγραψεν ὁ ἐκδότης Παπαδόπουλος ὁ Κεραμεὺς ἀντὶ τοῦ ἐν τῷ ἀντιγράφῳ κειμένου *ἐμφηβουμένη*. Πάντως δὲ καὶ ἡ γραφὴ τοῦ κώδικος καὶ ἡ διόρθωσις τοῦ ἐκδότου δὲν ἔχουσιν ὀρθῶς. Ὁ Τζέτζης ἔγραψεν «οὐδὲ κοσμεῖν πρόσωπον... *ἐμφυκουμένη* καὶ ἐγχουσίζουσα».

Παρὰ τῷ Παιανίῳ (Μετ. Εὐτρ. Ν. Ἑλληνομν. τόμ. Θ') σ. 97 ἐξέδωκεν ὁ ἀοίδιμος Σ. Λάμπρος: «Συνάψας δὲ πρὸς Ζηνοβίαν μάχην, ἥτις μετὰ τὴν τοῦ ἀνδρὸς τελευτὴν ἐβασίλευσε *τῶν ζῴων, αἵρει* μὲν αὐτὴν πλησίον Ἀντιοχείας κτἑ.».

Τὸ χωρίον νοσεῖ, διότι ἀδιανόητον εἶνε, ὅτι ἡ Ζηνοβία *ἐβασίλευσε τῶν ζῴων*, νομίζω δ' ὅτι εἶνε ἀνάγκη νὰ προενεχθῇ ἡ ῥῆσις ὧδε: «Συνάψας δὲ πρὸς Ζηνοβίαν μάχην, ἥτις μετὰ τὴν τοῦ ἀνδρὸς τελευτὴν ἐβασίλευσε, **ζωὴν αἱρεῖ** μὲν αὐτὴν κτἑ.», τουτέστι *ζῶσαν λαμβάνει* ἢ *συλλαμβάνει* αὐτήν. Πρβ. Ὁμ. Ζ 38, Π 331 «*ζωὸν ἕλε*» καὶ Φ 162 «*ζωοὺς ἕλον* πολλούς», Ξενοφ. Ἑλλ. Α', 2, 5 «τῶν ἱππέων ἕνα μὲν *ζωὸν* (ἄλλοι γράφουσι *ζῶν*) ἔλαβεν».

Ἐν τῷ μαρτυρίῳ τοῦ Ἁγ. Νίκωνος κεφ. 14 =Act. SS. Mart. III, 17 A εἶνε ἐκδεδομένον «πρὸς ποιησμὸν λαχανίδων».

Ὁ Tougard ἐν *Quid ad prof. etc.* σ. 172 γράφει: «ποιησμός, ὁ (forte derivatum a ποίη), herbarum collectio». Ἀλλ' ἐπειδὴ εἶνε ἀδύνατος ὁ ἀπὸ τῆς λέξεως *ποίη* (=πόα) σχηματισμὸς τοῦ ὀνόματος *ποιησμός*, νομίζω ὅτι ἐν τῷ προκειμένῳ χωρίῳ γραπτέον εἶνε «πρὸς *πορισμὸν* λαχανίδων», τουτέστι πρὸς *λαχανισμόν*.

Ἐν Catal. codd. astrol. Graec. τόμ. Ε'. σ. 158, 15 ἀπαντᾷ «γινώσκων τὴν *κοσμοδρομικὴν* τέχνην».

Ὁ ἐκδότης σημειοῦται: «κοσμοδρομικὴν non intellego: κοσμοποιητικὴν (sc. artem mundum muliebrem conficiendi)? «Fabricae ferreae peritus Arab.». Ἀλλὰ τὸ fabricae ferreae peritus δεικνύει, ὅτι τὸ ὀρθῶς ἔχον εἶνε: «γινώσκων τὴν *κωμοδρομικὴν* τέχνην». Ἐν τῷ Γλωσσαρίῳ τοῦ Δουκαγγίου εἶνε κατακεχωρισμένον τὸ ὄνομα *κωμοδρόμος* (faber aerarius, τουτέστι *χαλκεὺς*) καὶ τὸ ῥῆμα *κωμοδρομεύω*, ὅπερ εἶνε γεγραμμένον κακῶς *κομοδρομεύω*, ἐν δὲ τῇ τοῦ Κουμανούδη *Συναγ. λέξ. ἀθησ.* κεῖται καὶ ἡ λέξις *κωμοδρομία*. Σημειωτέον δ' ὅτι ἐν τῷ ὑπὸ τοῦ Α. Κωνσταντινίδου ἐκδοθέντι Λεξικῷ τῆς Ἑλλην. γλώσσης ἐλλείπουσιν αἱ λέξεις αὗται, ἐν δὲ τῷ τοῦ Α. Σακελλαρίου κατελέχθη μόνον ἡ λ. *κωμοδρόμος* καὶ ἑρμηνεύεται οὐχὶ ὀρθῶς «ὁ τρέχων, διερχόμενος διὰ κωμῶν». Ἐν δὲ Act. et dipl. Gr. τόμ. Ϛ', σ. 22 καὶ 47 ἀπαντᾷ τὸ *κωμοδρομικόν*, ὅπερ δηλοῖ εἶδός τι φόρου.

Παρ' Ἰωάννῃ τῷ Ἀργυροπούλῳ (ἐν ἐπιστολῇ πρὸς Γεώργιον τὸν Τραπεζούντιον) σ. 76 ἐξέδωκεν ὁ ἀοίδιμος Σ. Λάμπρος «καὶ κατέγνων σου τὰ νοήματα ἢ ληρήματα ἐξ ἐπηρμένης ἢ μᾶλλον εἰπεῖν σεσημμένης καὶ σαπρᾶς τῆς διανοίας προϊόντα, κτἑ.».

